ἐξήλεγξαν ἀντιδίκους τινὰς ἢ κατηγόρους, ἐπηνέθησαν. πολλῷ γάρ ἐστιν ἡ χαρὰ τῆς κωμικῆς ἐκείνης ἀγρυπνίας λαλίστερον (Men. fr. 164), ἀναρριπίζουσα πολλάκις ἑαυτὴν καὶ πρόσφατον ποιοῦσα τοῖς διηγήμασιν. ὅθεν ὀλισθηροὶ πρὸς τοὺς τοιούτους τῶν λόγων εἰσὶν ἐκ πάσης προφάσεως· οὐ γὰρ μόνον ‛ὅπου τις ἀλγεῖ, κεῖθι καὶ τὴν χεῖρ᾽ ἔχει,᾽ ἀλλὰ καὶ τὸ ἡδόμενον ἕλκει τὴν φωνὴν ἐφ᾽ ἑαυτὸ καὶ περιάγει τὴν γλῶτταν ἐπερείδειν ἀεὶ τῇ μνήμῃ βουλόμενον. οὕτω καὶ τοῖς ἐρωτικοῖς ἡ πλείστη διατριβὴ περὶ F λόγους μνήμην τινὰ τῶν ἐρωμένων ἀναδιδόντας· οἵ γε κἂν μὴ πρὸς ἀνθρώπους, πρὸς ἄψυχα περὶ αὐτῶν διαλέγονται·

‛ὦ φιλτάτη κλίνη᾽

καὶ

‛Βακχὶς θεόν σ᾽ ἐνόμισεν, εὔδαιμον λύχνε·
καὶ τῶν θεῶν μέγιστος, εἰ ταύτῃ δοκεῖς᾽
(Com. adesp. 151. 2).

ἔστι μὲν οὖν ἀτεχνῶς ἡ λευκὴ στάθμη πρὸς τοὺς λόγους
514 ὁ ἀδόλεσχος, | οὐ μὴν ἀλλ᾽ ⟨ὁ⟩ μᾶλλον ἑτέρων ἑτέροις προσπεπονθὼς ὀφείλει τούτους φυλάττεσθαι καὶ ἀνέχειν ἑαυτὸν ἀπὸ τούτων καὶ ἀνακρούειν ὡς πορρωτάτω, προαγαγεῖν καὶ ἀπομηκῦναι δι᾽ ἡδονὴν ἀεὶ δυναμένων. τὸ δ᾽ αὐτὸ τοῦτο καὶ πρὸς τοὺς λόγους ἐκείνους πεπόνθασιν, ἐν οἷς κατ᾽ ἐμπειρίαν ἢ ἕξιν τινὰ τῶν ἄλλων διαφέρειν νομί-